# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ ΤΗΣ «ΤΡΙΧΕΡΟΥΣΗΣ» ΚΑΙ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ

*Ψαλλομένη τῇ ιβ΄ Ἰουλίου.*

*Συντεθεῖσα*
*ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη, Μητροπολίτου τῆς Ἁγιωτάτης Μητροπόλεως Ρόδου.*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Τριχερούσης Παρθένου, δεῦτε τιμήσωμεν, τὴν εὐαγῆ Εἰκόνα, τῶν πιστῶν αἱ χορεῖαι, βοῶντες γηθοσύνως μιᾷ φωνῇ· Παναμώμητε Δέσποινα, ταῖς μητρικαῖς σου πρεσβείαις σκέπε ἡμᾶς, ἐν τοῦ βίου περιστάσεσιν.

Τῇ ἑορτῇ Τριχεροῦσα, τῆς παναχράντου σου, Εἰκόνος συνεκλάμπει, Παϊσίου ἡ μνήμη, τοῦ νέου ἐν Ὁσίοις, μεθ᾿ οὗ θερμῶς, τὸν Υἱόν σου ἱκέτευε, ἵνα ῥυσθῶμεν ἐκ πάσης ἐπιβουλῆς, τοῦ δολίου πολεμήτορος.

Τῆς ἐγκρατείας ἐκλάμψας, τοῖς κατορθώμασι, ἀφθόνως ὑπεδέξω, Παρακλήτου τὴν χάριν, καὶ ὤφθης τῶν ἀνθρώπων πρὸς ἀρετήν, ποδηγέτης οὐράνιος· διὸ Παΐσιε Πάτερ οἱ εὐσεβεῖς, εὐλαβῶς σε μακαρίζομεν.

Τῶν μοναζόντων ὁ λύχνος, Πάτερ Παΐσιε, μετὰ τῆς Τριχερούσης, Παναγίας Παρθένου, πρεσβείαν πρὸς τὸν Κτίστην θερμὴν ποιοῦ, τοῦ ῥυσθῆναι ἐκ θλίψεων, πειρατηρίων καὶ νόσων παντοδαπῶν, τοὺς ἐν ὕμνοις εὐφημοῦντάς σε.

Δόξα. Ἦχος β′.

Χαῖρε καὶ εὐφραίνου, Ὅσιε Πάτερ Παΐσιε, ὅτι δαυϊτικῶς, ἡμέρας καὶ νυκτός, τὰ δικαιώματα μελετήσας τοῦ Θεοῦ, καὶ ὁσίως αὐτὰ φυλάξας, κληρονομίαν ἔσχες, ἐν οὐρανοῖς ἀνεπίβουλον. Ὅθεν πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Χαῖρε Κεχαριτωμένη, Τριχεροῦσα Μητρόθεε, ἡ ἐξ Εἰκόνος σου λάμπουσα, τῇ φωταυγείᾳ τῆς χάριτος· πάρεχε οὖν ὡς ἀγαθή, τὰς μητρικάς σου δωρεάς, τοῖς μακαρίζουσι πιστῶς, τὰ μεγαλεῖα τῆς δόξης σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β′. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις Μῆτερ Ἁγνή, Παρθένε Τριχεροῦσα, ἡ ῥεῖθρα ἰαμάτων, πιστοῖς ὀμβροβλυτοῦσα, Εἰκόνος ἐξ ἁγίας σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ζήλῳ Θεοῦ, ἁμιλληθεὶς Ὁσίοις, ἔξω σαρκὸς καὶ κόσμου, Παΐσιε βιώσας, ἐν τοῖς ἐσχάτοις ἔτεσιν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Πρέσβευε τῷ Θεῷ, Παΐσιε θεόφρον, μετὰ τῆς Τριχερούσης, Παρθένου Θεοτόκου, ὑπὲρ τῶν εὐφημούντων σε.

Δόξα. Τριαδικόν.

Ἄναρχε Βασιλεῦ, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, Τριὰς Μονὰς Ἁγία· εὐχαῖς τοῦ Παϊσίου, εἰρήνην ἡμῖν δώρησαι.

Καὶ νῦν. Τῆς Θεοτόκου.

Πάντας πρὸς τὸν Θεόν, ὁδήγει Τριχεροῦσα, δι᾽ ἐναρέτου βίου, τοὺς κατασπαζομένους, Μορφῆς σου τὸ ἐκτύπωμα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου δ′ καὶ τοῦ Ὁσίου δ′, ὡς κάτωθι.

Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου.
Ἦχος α′. Ὢ τοῦ παραδόξου θαύματος.

Ὠ τοῦ παραδόξου θαύματος! ἡ σεπτή σου Εἰκών, Τριχεροῦσα Ἄχραντε, ὑπάρχει ἁγιασμοῦ, σκεῦος πολύτιμον· διόπερ αὐτῇ τιμήν, ἐν κατανύξει προσφέρομεν σήμερον, κροτοῦντές σοι ἑορτήν, οἱ εὐσεβεῖς καὶ ἐκ πόθου βοῶμέν σοι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν θαυμασίων Ἁγνή! τοῦ ὑψίστου θρόνος, ἀνεδείχθης ἔμψυχος, Εἰκών σου ὡς μαρτυρεῖ, ἡ γαληνόμορφος, ἧς θεῖον ὡς θησαυρόν, τῆς χάριτός σου τὸ ἔκτυπον ἔχοντες, λαμβάνομεν ἐξ αὐτοῦ, τὰς δωρεὰς τῶν θαυμάτων κραυγάζοντες· Κεχαριτωμένη χαῖρε, Τριχεροῦσα Πάναγνε, τῶν Ἀγγέλων ἡ δόξα, καὶ πιστῶν τὸ ἀγαλλίαμα.

Τῆς σῆς Εἰκόνος τὴν σύναξιν, ἐν ἀγαλλιάσει, ἐκτελοῦντες σήμερον, ὑμνοῦμεν μιᾷ φωνῇ, τὰ μεγαλεῖά σου· ἀστράπτεις γὰρ ἐξ αὐτῆς, τὸν φωτισμὸν τῆς ἀχράντου σου ὄψεως, φωτίζουσα τὰς ψυχάς, τῶν εὐσεβεῖ διαθέσει βοώντων σοι· Κεχαριτωμένη χαῖρε, Τριχεροῦσα Δέσποινα, παραμύθιον πάντων, τῶν πιστῶς προσερχομένων σοι.

Χαίροις Τριχεροῦσα Ἄχραντε, ἡ τῷ Ἰωάννῃ, ὡς Ὁσίῳ δούλῳ σου, τὴν ἴασιν τῆς χειρός, πάλαι βραβεύσασα· ὡς τοῦτον οὖν καὶ ἡμᾶς, ἐπιφανείας τῆς θείας σου χάριτος, ἀξίωσον τοῦ ἐχθροῦ, τὰς καθ᾽ ἡμῶν μεθοδείας σκεδάζουσα, καὶ ἐξαιρουμένη πάντας, τοὺς ὑμνολογοῦντάς σε, νοσημάτων παντοίων, συμφορῶν καὶ περιστάσεων.

Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεοφόρον; τοῦ Χριστοῦ τὸν φίλον Παΐσιον, εὐσεβείας θρέμμα τὸν κάλλιστον, καὶ τῶν Ὀρθοδόξων ἑωσφόρον· τὸν κόσμον, καὶ τὰ ἐν κόσμῳ ἀρνησάμενον, καὶ χάριν, ἀθανασίας κληρωσάμενον· τὸν μιμητὴν τῶν Ὁσίων, ἐν ἐσχάτοις χρόνοις, ὃν ἐδόξασε θαυμαστῶς, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὸν θεοφόρον; τὸν δι᾽ ἐγκρατείας καὶ νήψεως, τὴν τοῦ Παρακλήτου δεξάμενον, ζωηφόρον χάριν ἐν καρδίᾳ· τὸν πράξει, καὶ θεωρίᾳ διαλάμψαντα, καὶ πᾶσαν, τὴν Ἐκκλησίαν καταυγάσαντα· τὸ Καππαδόκων ἐκ ῥίζης, μυρίπνοον ἄνθος, τὸν Παΐσιον τὸν σοφόν, Χριστὸς ὃν ἐδόξασεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ῥήμασιν, ἐπαινέσωμέν σε θεομάκαρ; σὺ γὰρ παιδιόθεν δι᾽ ἔρωτος, τοῦ μανικωτάτου πρὸς Κύριον, τὴν καλὴν μερίδα ἐξελέξω, καὶ πάσης, τῆς γῆς ὑπάρχων παρεπίδημος, Ἀγγέλοις, ἴσον ἐκτήσω τὸ πολίτευμα, τῇ δωρεᾷ τοῦ Δεσπότου, Παΐσιε Πάτερ, ὃν δυσώπει ὑπὲρ ἡμῶν, τῶν πόθῳ τὴν μνήμην σου, τελούντων ἀειμακάριστε.

Ποίοις εὐφραντικοῖς ᾄσμασι, μακαρίσωμέν σε θεοφόρε; σὺ γὰρ δι᾽ ὁσίας ἀσκήσεως, Πνεύματος ἐκτήσω τὴν ἔλλαμψιν, καὶ ὡράθης στῦλος φωτοφόρος, ἀνθρώπων, λαοῦ μεγάλου προηγούμενος, καὶ τούτους, Θεῷ ἰθύνων διὰ πίστεως. Ἀλλ᾽ ὡς φωτὶ προσπελάζων, τῷ τῆς Θεαρχίας, ἡμῖν αἴτει τὸν φωτισμόν, τὸν θεῖον τῆς χάριτος, πρεσβείαις ταῖς σαῖς Παΐσιε.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ Παΐσιε, ἀρετῶν τοὺς χαρακτῆρας, δι᾽ ἀσκητικῶν κατορθωμάτων, σεαυτῷ ἐμμορφώσας, ἔδειξας τὴν ψυχήν σου, τοῦ Θεοῦ κατ᾽ εἰκόνα μακάριε· διὸ εἰς τὰ πέρατα, ὁ φθόγγος ἔδραμε ψαλμικῶς, τῆς διδασκαλίας σου, πάντας παιδεύων, τὰ κατὰ Θεὸν φρονεῖν καὶ ζητεῖν, καὶ ἐν τῷ θελήματι αὐτοῦ, ὀρθοδόξως πολιτεύεσθαι. Ἀλλ᾽ ὡς ἔχων πρὸς αὐτόν, παῤῥησίας τὰ γνωρίσματα, τῇ οἰκουμένῃ τὴν εἰρήνην ἐξαίτει, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Δεῦτε σήμερον πιστοί, ἐν εὐσήμῳ ἡμέρᾳ, σεβασμίας ἡμῶν ἑορτῆς, πνευματικῇ κιθάρᾳ σαλπίζοντες, τῇ Παρθένῳ βοήσωμεν· Χαίροις Τριχεροῦσα Πανύμνητε, ἡ τῷ ᾀσματογράφῳ Ἰωάννῃ πάλαι, προσπεσόντι τῇ Εἰκόνι σου, τῆς ἐκκοπείσης χειρός, παρασχοῦσα τὴν ἴασιν· ἡ ἐξ αὐτῆς καὶ νῦν ἡμῖν, τὸν φωτισμὸν τοῦ προσώπου σου, ἀγλαοφανῶς ἀνατέλλουσα, καὶ τὰς ψυχὰς ἡμῶν εὐφραίνουσα. Ἀλλὰ ἔσο μεθ᾽ ἡμῶν, πάντοτε Μητράνανδρε, ἐν πλούτῳ μητρικῶν οἰκτιρμῶν, ἰατρεύουσα τὰ πάθη, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.
(Κεφ. κη΄ 10-17)

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαῤῥὰν καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς· καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ. Ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ

Θάλασσαν καὶ Λίβα καὶ Βοῤῥᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ′, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε′, 15-23, στ′ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους

καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Παρθενικὴ πανήγυρις, πάλιν ἡμῖν ἐπεδήμησε. Δεῦτε οὖν οἱ πιστοί, πρὸς τὴν Παρθένον δράμωμεν, καὶ τῇ Εἰκόνι αὐτῆς, προσπέσωμεν σὺν δάκρυσι, δωροφοροῦντες αὐτῇ εὐλαβῶς, ὡς Μητρὶ ἡμῶν τὰ ᾄσματα, καὶ ἱκετικῶς ἀναβοῶντες· Τριχεροῦσα Μῆτερ Ἁγνή, σὺν Παϊσίῳ τῷ σοφῷ, τῷ ἐν τῇ καθ᾿ ἡμᾶς γενεᾷ, ἀσκητικῆς πολιτείας γνωρίσμασι, τοῦ Υἱοῦ σου φανέντι θεράποντι, πρέσβευε ἐκτενῶς, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ἀγαλλιασώμεθα πιστοὶ καὶ εὐφρανθῶμεν, ἀλαλάξωμεν πάντες, τῷ Θεῷ δαυϊτικῶς, ὅτι ἄνδρα ἰσάγγελον, ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, ἐν τοῖς ἐσχάτοις καιροῖς, Παΐσιον τὸν σοφὸν ἀνέδειξε· τὸν πράξει ὑπὲρ φύσιν διαπρέψαντα, καὶ γνώσει ὑπερκοσμίῳ διαλάμψαντα· τὸν κατ᾿ ἄμφω εἰς ὕψος, τελειότητος φθάσαντα, καὶ ἐκεῖθεν τοῖς ἀνθρώποις, θείας ἐπιγνώσεως τὸ φῶς, πολυτρόπως ἐξανατέλλοντα. Διὸ καὶ πρὸς αὐτόν, ἐν κατανύξει ἐκβοήσωμεν· Πρέσβευε Πάτερ, τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ὅσιε Πάτερ Παΐσιε, Καππαδόκων ἐκ ῥίζης, φυτὸν βλαστήσας εὐθαλέστατον, ἐν καιρῷ ἀσκητικῶς, χάριτι γεωργηθείς, τῶν ἀρετῶν τὴν παγκαρπίαν, πλουσίαν ἐξήνεγκας, εἰς Μοναστῶν εὐφροσύνην, καὶ εὐσεβοῦς λαοῦ ἀγαλλίασιν. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἑορτάζομεν, δοξάζοντες Χριστὸν τὸν Θεόν, τὸν παρέχοντα διὰ σοῦ, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος δ΄.

Ἐκ δεξιῶν σου ψαλμικῶς, προβλέπων τὸν Κύριον, ἐν τῇ ἀσκήσει οὐκ ἐνάρκησας, οὐκ ἔπτηξας τῶν ἀγώνων τὸ ὑπέρπονον, οὐκ ἐδειλίασας ἐν πειρασμοῖς, οὐκ ἐπτοήθης ἐν ταῖς ἀσθενείαις· ἀλλ᾿ ὑπομείνας ἐν πᾶσι στεῤῥότατος, ὡς χαίρων τῇ ἐλπίδι Χριστοῦ, παρ᾿ αὐτοῦ ὑπεδέξω, τὰ κρείττονα χαρίσματα, τοῖς θαύμασι μέγας φαινόμενος, καὶ τῇ διδασκαλίᾳ θεόπνους γνωριζόμενος. Αὐτῷ οὖν πρέσβευε, Πάτερ θεόφρον Παΐσιε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ἐ᾿ν τῷ ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος, ἀσκητικῇ συντονίᾳ, δικαιοσύνην ἐργασάμενος, ἀνέδειξας ἑαυτόν, ἀρετῶν στήλην φωτοειδῆ, ἐν τῷ ὕψει αὐτοῦ ἐστηριγμένην, καὶ ἐκεῖθεν ἀνατέλλουσαν, τὸ φῶς τοῦ Χριστοῦ τοῖς πέρασι, Παΐσιε παμμακάριστε. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἑορτάζοντες, τὸν Θεὸν μεγαλύνομεν, τὸν ταῖς πρεσβείαις δωρούμενον, ταῖς ψυχαῖς ἡμῶν τὸν φωτισμόν, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β′.

Δεῦτε πνευματικήν, σήμερον οἱ πιστοί, χορείαν στησώμεθα, εὐφημοῦντες τὸν θεῖον Παΐσιον· οὗτος γὰρ ἀσκητικῶς, πολυειδέσιν ἀρεταῖς, ἐπὶ ὄρος νοητόν, τῆς ἀπαθείας ἀναδραμών, καὶ ὡς ἄλλος Μωϋσῆς, γνόφῳ τῷ θείῳ καλυφθείς, μυστηρίων γνῶσιν Θεοῦ, καὶ θαυμάτων χάριν ὑπεδέξω, εἰς Μοναστῶν οἰκοδομήν, καὶ λαοῦ περιποίησιν. Διὸ καὶ αὐτὸν μακαρίζοντες, τῷ Κυρίῳ δῶμεν μεγαλωσύνην, τῷ ἀναδείξαντι αὐτόν, καὶ παρέχοντι δι᾿ αὐτοῦ, τὴν σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Θεοτόκε Παρθένε, Τριχεροῦσα Πανύμνητε, τίς διηγήσεται, τὰ μεγαλεῖα τῆς δόξης σου; ἐξ Εἰκόνος γὰρ τιμίας, ὡς ἐκ πηγῆς ἀενάου, θαυμάτων ῥεῖθρα ἀναβλύζουσα, εὐεργεσίας πληροῖς γλυκασμοῦ, τοὺς προσιόντας σοι καὶ λέγοντας· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἐκ σοῦ ἐνανθρωπήσας Θεός, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α′. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ ἐκ παιδὸς τὸν Χριστόν, σφοδρῶς θελήσας καὶ ποθήσας ὡς πάνσοφος, καὶ τούτῳ ἀκολουθήσας, τὸ χαῖρε χαίρων εἰπών, τῇ προσκαίρου βίου ματαιότητι· φθαρτῷ ὁ ἐν σώματι, μετελθὼν τὸ πολίτευμα, τῶν Ἀσωμάτων, ἐν τῷ κόσμῳ ὡς ἄσαρκος, καὶ τὰ τάγματα, φθάσας τούτων Παΐσιε· ὧνπερ καὶ κατηξίωσαι, γενέσθαι αὐτήκοος, τῆς ὑπὲρ νοῦν μελῳδίας, δοξολογούντων τὸν Κύριον. Αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ τὸν ζυγὸν τοῦ Χριστοῦ, ἐν ἀπαρνήσει τῶν προσκαίρων ἀράμενος, ἐπ᾿ ὤμων σου θεοφρόνως, ὡς ἐπακούσας φωνῆς, τοῦ

www.tezaurliturgic.ro


Εὐαγγελίου διὰ πίστεως· ὁ τρόπων χρηστότητι, καὶ ἠθῶν κοσμιότητι, ἐπιτελέσας, ἀρετῆς τὸ ἀγώνισμα, καὶ τὸν βύθιον, ταπεινώσας πολέμιον· ἄνωθεν ὁ ἀμάραντον, δεξάμενος στέφανον, τοῦ Ζωοδότου παλάμῃ, ἡγιασμένε Παΐσιε. Αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις ὁ πρακτικαῖς ἀρεταῖς, τῶν ὑπὲρ φύσιν ἐν τῷ Ἄθῳ ἀγώνων σου, τηρήσας τὸ κατ᾽ εἰκόνα, τοῦ ἐπὶ πάντων Θεοῦ, τοῦ ἐκλεξαμένου ἐκ σπαργάνων σε· τῇ γνώσει ὡς ἥλιος, ὁ ἐκλάμψας τοῖς πέρασι, καὶ καταυγάσας, τὰς ψυχὰς τῶν συνόντων σοι, ἀμαρύγμασι, τῆς ἐξ ὕψους σοφίας σου· θαύμασιν ὁ τῆς πίστεως, τρανώσας τὴν δύναμιν, πρὸς σωτηρίαν ἀνθρώπων, ἡγιασμένε Παΐσιε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ′.

Τὴν οὐρανομήκη σου πολιτείαν, τίς μὴ θαυμάσει, Παΐσιε παμμακάριστε! τὸν κόσμον γὰρ ὡς φθαρτόν, σὺν τοῖς ἐν κόσμῳ ἀπεκδυσάμενος, καὶ ὁδὸν στενωτάτην, εὐαγγελικῶς πορευσάμενος, ἐν ἀρετῶν ὀχήματι, ἁρματηλάτης ἤρθης ἐκ γῆς, πρὸς οὐρανῶν σκηνώματα, ὡς Ἠλίας ὁ διφρηλάτης· ἔνθα Θεῷ παριστάμενος, καὶ αἴγλης τῆς τριφαοῦς, ὅλος ἐμπιμπλάμενος, τὸν φωτισμὸν ἐξαίτει, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἔχει μὲν Χιλανδαρίου ἡ Μονή, τὴν θείαν Εἰκόνα σου, ὡς μυστικὴν κιβωτὸν ἁγιάσματος, Τριχεροῦσα Πανάχραντε· ἔχομεν δὲ καὶ ἡμεῖς, τὸ θαυμαστὸν αὐτῆς ἀντίτυπον, ὡς πηγὴν ἀκένωτον, τοῦ μεγάλου ἐλέους σου· ἐν ἀμφοτέροις γάρ, ἡ χάρις σου ἀνεκφοίτητος μένουσα, θαυμάτων ἐνεργεῖ τὰ παράδοξα, πρὸς σωτηρίαν τῶν ἀναβοώντων· Χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, ὁ ἐκ σοῦ σαρκωθείς, καὶ θεώσας τὸ πρόσλημμα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἦχος α′. Τῆς ἐρήμου πολίτης.

Τῶν Ὁσίων τὸν βίον, μιμησάμενος τέλεον, Ἄγγελος ἐπίγειος ὤφθης, καὶ οὐράνιος ἄνθρωπος· διό σε ἐν λυχνίᾳ ὁ Θεός, ἐπέθηκεν ὡς λύχνον φαεινόν, Ὀρθοδόξων καταυγάζοντα τὸν λαόν, Παΐσιε θεοφόρε· Δόξα τῷ

σὲ ἐκλέξαντι Χριστῷ, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, ἄπειρα θαύματα.

Ἕτερον Ὁ αὐτός. Τοῦ λίθου σφραγισθέντος.

Α᾽σκήσει δι᾽ ἀγάπης, Χριστῷ ἀκολουθήσας, εὐαγγελικῆς πολιτείας, διέπρεψας τῷ ὕψει, καὶ γέγονας ἀνθρώπων ὁδηγός, ἐν λόγῳ θεοπνεύστων διδαχῶν, καὶ θαυμάτων ἐνεργείαις ὑπερφυῶν, εἰς ἔπαινον Ἐκκλησίας. Ὅθεν Θεὸν Παΐσιε σοφέ, ἱκέτευε δωρήσασθαι, εἰρήνην ταῖς ψυχαῖς ἡμῶν, καὶ μέγα ἔλεος.

Ἕτερον. Τῆς Θεοτόκου. Ὅμοιον.

Εἰκόνος ἐξ ἁγίας, ῥοὴν σωτηριώδη, ὥσπερ ἐκ πηγῆς ζωηφόρου, ἐκβλύζεις ἰαμάτων, ἐξ ἧς ἀπαντλοῦντες δαψιλῶς, εἰς ἴασιν σωμάτων καὶ ψυχῶν, εὐφροσύνης Τριχεροῦσα οἱ εὐσεβεῖς, πληρούμεθα καὶ βοῶμεν· Δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τοῖς θαυμασίοις σου, δόξα τῇ εὐσπλαγχνίᾳ σου, Μῆτερ Πανύμνητε.

Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.
Ἦχος α′. Τὸν τάφον σου.

Παΐσιον πιστοί, ἐν Ὁσίοις τὸν νέον, τιμήσωμεν φαιδρῶς, μελῳδίαις ᾀσμάτων, καὶ πάντες ἐκβοήσωμεν, πρὸς αὐτὸν μετὰ πίστεως· Πάτερ Ὅσιε, ταῖς πρὸς Θεόν σου πρεσβείαις, τῶν ὑμνούντων σε, ἔσο ἐν βίου ἀνάγκαις, προστάτης ἀκοίμητος.

Δόξα. Ὅμοιον.

Ε᾽κ βρέφους τὸν Χριστόν, ὁλικῶς ἀγαπήσας, ἐν βίῳ σου αὐτοῦ, τὸν ζυγὸν θεοφρόνως, ἐπ᾽ ὤμων σου ἐβάστασας, θεοφόρε Παΐσιε, καὶ ἐπέτυχες, τῶν ἐκλεκτῶν τῆς μερίδος· ὅθεν πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν πάντιμον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εἰκών σου ἡ σεπτή, Τριχεροῦσα Παρθένε, τῆς χάριτος τὸ φῶς, μυστικῶς ἀνατέλλει, φωτίζουσα τὰ πρόσωπα, τῶν ἐκ πόθου βοώντων σοι· Χαῖρε

Δέσποινα, ἡ τὸν σοφὸν Ἰωάννην, ξένῳ θαύματι, τῆς ἀσεβοῦς καταδίκης, εὐσπλάγχνως λυτρώσασα.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Θείας πίστεως.

Θείας πίστεως, τῇ ἐνεργείᾳ, δι᾽ ἀσκήσεως, ἀγωνισμάτων, τοῦ Δεσπότου τὸν λόγον ἐπλήρωσας, παρ᾽ οὗ τὴν χάριν ὡς δῶρον δεξάμενος, φῶς τοῖς ἀνθρώποις ἐγένου ἀνέσπερον. Ὅθεν πρέσβευε, αὐτῷ ἐκτενῶς Παΐσιε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Θείαις ἔλαμψας, διδασκαλίαις, καὶ ἐφώτισας, πιστῶν καρδίας, παμμακάριστε Πάτερ Παΐσιε· ἐν τῷ φωτὶ γὰρ Κυρίου, τὰς τρίβους σου, ἐκ νεαρᾶς ἡλικίας κατηύθυνας. Ὅθεν πρέσβευε, αὐτῷ οἱ πιστοὶ δεόμεθα, δωρήσασθαι ἡμῖν τὸ φῶς τῆς χάριτος.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θείᾳ χάριτι, ἀρδευομένη, ῥεῖθρον ἄϋλον ἐπισταλάζει, Τριχεροῦσα Εἰκών σου ἡ πάντιμος, ἐξ ἧς ψυχῶν καὶ σωμάτων λαμβάνοντες, τὴν θεραπείαν ἐκθύμως βοῶμέν σοι· Χαῖρε Ἄχραντε, προστάτις θερμὸς καὶ ἔφορος, τῶν πίστει ἀδιστάκτῳ προσιόντων σοι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Τὸ σῶμα ἐνέκρωσας, δι᾽ ἐγκρατείας πολλῆς, τὸ πνεῦμα ἐζώωσας, δι᾽ ἀενάου εὐχῆς, παμμάκαρ Παΐσιε· φοῖνιξ Εὐαγγελίου, ἐν τῷ Ἄθῳ βλαστήσας, ἤνεγκας παγκαρπίαν, ἀρετῶν γλυκυτάτην· διό σε πιστοὶ τιμῶμεν, Θεὸν μεγαλύνοντες.

Δόξα. Ὅμοιον.

Τὸν δρόμον ἐτέλεσας, ἀσκητικαῖς ἀρεταῖς, τὴν πίστιν ἐτήρησας, πνευματικαῖς διδαχαῖς, θεόφρον Παΐσιε· στέφος δικαιοσύνης, οὐρανόθεν ἐδέξω· θαύμασι τοῖς ἐν κόσμῳ, ὡς φωστὴρ ὑπερλάμπεις. Διό σε ἀνευφημοῦμεν, τελοῦντες τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

www.tezaurliturgic.ro


Εἰκὼν ἡ ὑπέρτιμος, τῆς Τριχερούσης Ἁγνῆς, ἐκβλύζει τῆς χάριτος, σωτηριώδη ῥοήν, ὡς κρήνη ἀκένωτος· δεῦτε πιστοὶ ἐκ πόθου, ἀσπασώμεθα ταύτην, κράζοντες τῇ Παρθένῳ, τοῦ Ἀγγέλου τὸ Χαῖρε· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Οἱ ᾿Αναβαθμοί, ἤτοι τὸ α′ ᾿Αντίφωνον τῶν ᾿Αναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε′ Δεκεμβρίου.

Ὁ Ν′. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

᾿Ιδιόμελον. Ἦχος πλ. β′.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Πάτερ, θεόφρον Παΐσιε, νέκρωσιν ζωοποιόν, δι᾿ ἀσκήσεως κτησάμενος, εἰς τὴν χαρὰν τοῦ Κυρίου εἰσέδραμες· σαρκὸς γὰρ ἔξω καὶ κόσμου, ἀγγελοτρόπως ἐβίωσας, καὶ ἀρετῆς ἐπὶ γῆς, τοῖς κατορθώμασι διέπρεψας. Ὅθεν πρέσβευε δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα, ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἰρμῶν, εἰς στ′, καὶ ὁ Κανὼν τοῦ Ὁσίου, ὁμοίως εἰς στ′. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ᾿Ακροστιχίς· «Χαῖρε Μαρία θεοδέγμον Παρθένε Κυρίλ(λο)υ».

ᾨδὴ α′. Ἦχος α′. Ὁ Εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενής, ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάρια.

Χαῖρε Τριχεροῦσα Ἀγαθή, Μῆτερ Θεοῦ Ὁδηγήτρια Πάνσεμνε· πάντας τοὺς προστρέχοντας, πόθῳ ψυχῆς, τῇ εὐαγεῖ Εἰκόνι σου, μὴ ἀποστερήσῃς, τῶν δωρεῶν τῆς σῆς χάριτος.

www.tezaurliturgic.ro


Α῞παντες τιμῶμεν οἱ πιστοί, τῆς σῆς Μορφῆς Τριχεροῦσα τὸ ἔκτυπον, ἐξ οὗ ἀνατέλλουσα, τὸν φωτισμόν, τῆς σῆς ἀχράντου ὄψεως, ψυχὰς καταυγάζεις, τῶν εὐσεβῶς προσιόντων σοι.

Ι῞λεων πρεσβείᾳ μητρικῇ, τὸν σὸν Υἱὸν Τριχεροῦσα ἀπέργασαι, τοῖς ἐνατενίζουσι, δόξαν τὴν σήν, ἐν τῇ σεπτῇ Εἰκόνι σου, καὶ διηγουμένοις, τὰ μεγαλεῖα τῆς δόξης σου.

Ρ῾ῦσαι ἐκ κινδύνων χαλεπῶν, καὶ πειρασμῶν Τριχεροῦσα Μητρόθεε, νόσων, περιστάσεων, καὶ τῆς δεινῆς, τοῦ ἀρχεκάκου μήνιδος, τοὺς ἀσπαζομένους, τῆς σῆς Μορφῆς τὸ ἐκτύπωμα.

Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις καὶ τῇ θ′ ᾠδῇ· «Κυρίλ(λ)ου Ρόδου».

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Χαίροις Μοναζόντων ὁ κανών, ἄνερ Θεοῦ θεομάκαρ Παΐσιε· αἴτει μοι πρεσβείαις σου τὸν φωτισμόν, τοῦ Παρακλήτου Πνεύματος, ἵνα κατ᾽ ἀξίαν, ᾀσματικῶς εὐφημήσω σε.

Α᾽στρον προμηθείᾳ θεϊκῇ, δι᾽ ἀρετῆς ἐν ἐσχάτοις ἀνέτειλας, Ὅσιε Παΐσιε λάμπων τὸ φῶς, τοῦ οὐρανίου βίου σου, καὶ καταπυρσεύων, τῶν εὐσεβῶν τὰ πληρώματα.

Πόθῳ καὶ ἀγάπῃ τοῦ Χριστοῦ, κατατρωθεὶς παιδιόθεν Παΐσιε, μέριμναν κατέλιπες τὴν κοσμικήν, καὶ σαρκοφόρος Ἄγγελος, πέφηνας ἐν κόσμῳ, ἀσκητικοῖς ἀγωνίσμασι.

Θεοτοκίον.

Κύριον τεκοῦσα καὶ Θεόν, ἄνευ σπορᾶς ἐξ ἀχράντων αἱμάτων σου, τοῦτον καθικέτευε ὡς ἀγαθή, τοῦ δωρηθῆναι Ἄχραντε, ἁμαρτημάτων λύσιν, ἡμῖν τοῖς σὲ μακαρίζουσιν.

Κανὼν ἕτερος τοῦ Ὁσίου, οὗ ἡ ᾽Ακροστιχὶς ἐν τοῖς Θεοτοκίοις ἀντιστρόφως· «Τοῦ Ρόδου».

Ἦχος πλ. δ′. Ἁρματηλάτην Φαραώ.

Εὐλογητὸς εἶ τοῦ παντὸς ὁ Κύριος, ὁ ἐν Τριάδι Θεός, ὁ τοῦ Παϊσίου, ὡς Ὁσίου δούλου σου, δοξάσας τὸ μνημόσυνον· ταῖς αὐτοῦ οὖν πρεσβείαις, ἡμᾶς οἰκτίρμον ἐλέησον, τοὺς σὲ εὐσεβῶς μεγαλύνοντας.

Μεταναστεύσας τῶν φθαρτῶν ὡς πάνσοφος, προσεκολλήθης Χριστῷ, ἀσκητικὸν βίον, εὐσεβῶς ἑλόμενος, καὶ χαρισμάτων ἔτυχες, ἐκ Θεοῦ θαυμασίων, ἡγιασμένε Παΐσιε· ὅθεν σε πιστοὶ μακαρίζομεν.

Παραζηλώσας ἀληθῶς ἐκ πίστεως, τὴν τῶν Ὁσίων ζωήν, ὥσπερ ἀστὴρ ὤφθης, ἐν τῷ στερεώματι, τῆς Ἐκκλησίας Ὅσιε, τὰς αὐγὰς ἀποπέμπων, τοῖς εὐσεβέσι Παΐσιε, τῆς ὑπερφυοῦς πολιτείας σου.

Θεοτοκίον.

Ὑπεραγία Μαριὰμ Μητρόθεε, πᾶσαι ἰδοὺ γενεαί, μακαρίζουσί σε, ὡς αὐτὴ προέφησας, ὅτι σαρκὶ ἐκύησας, τὸν Πατρὸς Θεὸν Λόγον· Αὐτὸν εὐχαῖς σου εὐήλατον, δεῦρο τοῖς πιστοῖς παρασκεύασον.

Τῆς Θεοτόκου. Ὠιδὴ γ'. Ὁ Εἱρμός.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.

Τροπάρια.

Ἐλέους πηγὴ ὡς δαψιλής, ἐλέει εὐσπλαγχνίας σου, τῷ ἐκ τῆς σῆς Εἰκόνος ἐκβλύζοντι, τὰ τραύματά μου ἐν τάχει ἴασαι, Τριχεροῦσα Πάναγνε, ἵνα μακαρίζω σου, τῆς κυήσεως θαῦμα τὸ μέγιστον.

Μητέρα αὐτοῦ σωματωθείς, ὁ Λόγος ἀναδείξας σε, ὡς ἀγαθὸς τὴν σὴν καθηγίασε, σεπτὴν Εἰκόνα καθαγιάζουσαν, Τριχεροῦσα Δέσποινα, τὰς αἰσθήσεις πάντοτε, τῶν τιμώντων σου τόκον τὸν ἄφραστον.

Ἀγγέλων χαρὰ καὶ γηγενῶν, ὑπάρχει ἀγαλλίαμα, ἡ σὴ Εἰκὼν ἐξ ἧς τῆς εὐνοίας σου, τὴν θείαν αἴγλην ὑπεραστράπτουσα, Τριχεροῦσα Ἄχραντε, τὰς ψυχὰς καταύγασον, τῶν ᾀδόντων σοι ὕμνον ἁρμόδιον.

Ῥεόντων τῆς γῆς ἐκδυσωπῶ, προσκαίρου ματαιότητος, τῇ μητρικῇ θερμῇ προμηθείᾳ σου, ἀνύψωσόν με καὶ δίδου δύναμιν, Τριχεροῦσα Ἄχραντε, ἀσφαλῶς βαδίζειν με, τὸν σωτήριον δρόμον τῆς πίστεως.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ἐκ βρέφους Θεοῦ τὰς ἐντολάς, φυλάττων ἐν καρδίᾳ σου, ἀσκητικῶς αὐτὸν εὐηρέστησας· διὸ σοφίας τὴν χάριν ἔλαβες, καὶ ἀνθρώποις γέγονας, ἀρετῆς διδάσκαλος, παμμακάριστε Πάτερ Παΐσιε.

Ἀγάπῃ Χριστοῦ πυρποληθείς, τῇ δρόσῳ τῆς ἀσκήσεως, τῶν ἡδονῶν τὸ πῦρ κατεπάτησας, παθῶν τε φλόγα τελείως ἔσβεσας, καὶ ἐγένου ἔμψυχον, ἱερὸν κειμήλιον, τῆς θεώσεως Πάτερ Παΐσιε.

Ἀπάτην σαρκὸς ὥσπερ σκιάν, καὶ ὄναρ λογιζόμενος, τὸν τοῦ Χριστοῦ ζυγὸν ἐπαυχένιον, ἐν εὐφροσύνῃ καρδίας ἔλαβες, καὶ ἀσκήσει ἔδραμες, εἰς ζωῆς τῆς κρείττονος, τὰ σκηνώματα Πάτερ Παΐσιε.

Θεοτοκίον.

Ὑψίστου Θεοῦ Μῆτερ Ἁγνή, Παρθένε Παντευλόγητε, ἐν μητρικῇ στοργῇ δίδου ἵλεων, τὸν ἐκ γαστρός σου τεχθέντα Κύριον, τοῖς προθύμως ψάλλουσι, τῇ ἁγίᾳ δόξῃ σου, χαριστήριον ὕμνον ἐκ πίστεως.

Ἕτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἐπιποθήσας ἐκ παιδός, τῶν ἐκλεκτῶν τὴν μερίδα, κοσμικὴν ἀπεβδελύξω ἀπάτην, καὶ τὸ φρόνημα Θεῷ, ταῖς ἀρεταῖς σου ὕψωσας· ὅθεν ἀθανασίας, αἴγλῃ ηὐγάσθης Παΐσιε.

Βίον τελέσας ἱερόν, ἀπὸ παιδὸς θείῳ πόθῳ, ὡς λιπὼν τὰς ἀνονήτους συγχύσεις, καὶ τὸ φρόνημα σαρκός, καθυποτάξας πνεύματι, Ἄγγελος ἐγνωρίσθης, σωματοφόρος Παΐσιε.

Τὴν τεθλιμμένην ἐπὶ γῆς, ἀσκητικῶς διοδεύσας, καὶ ἐχθρὸν κατανικήσας ἐν ὅπλοις, τοῖς τοῦ Πνεύματος σοφέ, ὡς στρατιώτης πίστεως, κατεκοσμήθης στέφει, δικαιοσύνης Παΐσιε.

Θεοτοκίον.

Ὅλη ὡραία καὶ καλή, ὡς ἱερῶς ᾀσματίζει, ψαλμῳδὸς ὁ Προφητάναξ Παρθένε, ἀναδέδειξαι Πατρός, τὸν Λόγον σωματώσασα. Αὐτὸν οὖν ἐκδυσώπει, ὑπὲρ τῶν πόθῳ ὑμνούντων σε.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Θεωρίᾳ καὶ πράξει, ἀνεζωγράφησας, τῶν ἀπ᾽ αἰῶνος Ὁσίων, τὴν πολιτείαν ἐν σοί, καὶ θυσίαν τῷ Θεῷ, σαυτὸν προσήγαγες, τῷ ποδηγέτην

σε λαοῦ, ἀναδείξαντι πιστοῦ, Παΐσιε θεοφόρε. Αὐτῷ οὖν πρέσβευε Πάτερ, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὅμοιον.

Τῇ ἀσκήσει ἐτράφης, ἀπὸ νεότητος, καὶ ἡλικίας εἰς μέτρον, θεῖον ηὐξήθης Χριστοῦ, ταῖς πολλαῖς σου ἀρεταῖς, Πάτερ Παΐσιε· ὅθεν ἐν πράξει εὐσεβεῖ, καὶ σοφίᾳ δαψιλεῖ, θεογνωσίας τὸν δρόμον, ὑπέδειξας τοῖς ἀνθρώποις· διό σε πάντες εὐφημοῦμεν πιστῶς.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὅμοιον.

Τριχερούσης Εἰκόνα, τὴν πανυπέρτιμον, κατασπασώμεθα δεῦτε, ἐν κατανύξει ψυχῆς, ὅτι χάριτος πηγή, θεία ὑπάρχουσα, ῥεῖθρα ἰάσεων ἀεί, ἀναβλύζει πρὸς παθῶν, παντοδαπῶν ἰατρείαν, καὶ πᾶσι πιστοῖς ἐκφαίνει, τὴν εὐσπλαγχνίαν τῆς Παρθένου Μητρός.

Τῆς Θεοτόκου. Ὠιδὴ δ'. Ὁ Εἱρμός.

Ε῎ν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακούμ, τὴν τοῦ Λόγου σάρκωσιν, ἐκήρυττες βοῶν· Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Ι῎άτρευσον νοσοῦσαν, δεινῶς μου τὴν ψυχήν, Τριχεροῦσα πλήθεσιν, αἰσχρῶν ἁμαρτιῶν· τῆς γὰρ Μορφῆς σου προστρέχω τῷ χαρακτῆρι, θαυμαστωθέντι δωρεαῖς τῶν ἰαμάτων· δέξαι τὴν τοῦ δούλου σου δέησιν.

Α῎γγέλων σε αἱ τάξεις, ἀνθρώπων ἡ πληθύς, Τριχεροῦσα βλέποντες, Εἰκόνι ἐν σεπτῇ, πεποικιλμένην χαρίτων τῇ ποικιλίᾳ, χαῖρε βοῶσιν ἡ σαρκὶ Πατρὸς τεκοῦσα, Λόγον τὸν ἀσώματον πρότερον.

Θαυμάζομεν τὸ κάλλος, Εἰκόνι ἐν σεπτῇ, Τριχεροῦσα Ἄχραντε, τῆς θείας σου Μορφῆς· καθοδηγοῦσα μὴ παύσῃ πρὸς τὸν Σωτῆρα, τῆς χάριτός σου ἀσφαλεῖ χειραγωγίᾳ, τοὺς σὲ μακαρίζοντας Πάναγνε.

Ε῎λέησον ἐλέους, ὡς μέγας θησαυρός, Τριχεροῦσα Δέσποινα, τοὺς δούλους σου ἡμᾶς, χαριστηρίους αἰνέσεις προσφέροντάς σοι, τῷ λογικῷ σοι οὐρανῷ ἐξ οὗ ἐφάνη, δόξης ὁ ἀνέσπερος ἥλιος.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Α᾿σκήσεως τοῖς πόνοις, τῷ ὄρει προσιών, πολιτείας κρείττονος, Παΐσιε σοφέ, τῆς φωταυγείας ἐπλήσθης τοῦ Παρακλήτου, καὶ φῶς ἐγένου τῶν πιστῶν τῇ Ἐκκλησίᾳ, ἥτις μακαρίζει σε σήμερον.

Ε᾿νίκησας τοῖς ὅπλοις σου, εὐχῶν σου δυνατῶν, τὰς δαιμόνων φάλαγγας, Παΐσιε σοφέ· διὸ τῆς νίκης τὸ στέφος ὡς δεδεγμένος, ἐν τοῖς ὑψίστοις κατοικεῖς μετὰ Δικαίων, ἔχων τὴν ἀπόλαυσιν ἄληκτον.

Ω῾ς ἄνθεσιν τοῖς ὕμνοις, εὐφήμως οἱ πιστοί, στέφομέν σε σήμερον, Παΐσιε σοφέ· Μὴ οὖν ἐλλίπῃς πρεσβεύων ἐν παῤῥησίᾳ, ἵνα ῥυσθῶμεν πειρασμῶν οἱ ἐκτελοῦντες, πόθῳ τὴν ὑπέρλαμπρον μνήμην σου.

Θεοτοκίον.

Ρ῾υόμενον κατάρας, τὸ γένος τῶν βροτῶν, τῆς Τριάδος ἔτεκες, τὸν δεύτερον σαρκί, ἐν τῇ γαστρί σου ἀσπόρως σωματωθέντα, ὃν ἐκδυσώπει μητρικῶς τοῦ οἰκτειρῆσαι, τοὺς σὲ μακαρίζοντας Δέσποινα.

Ἕτερος. Σύ μου ἰσχύς.

Ε᾿πιζητῶν, τῶν οὐρανίων τὴν οἴκησιν, τῶν ἐν κόσμῳ, ὤφθης παρεπίδημος, καὶ μοναστῶν ζήλῳ θερμουργῷ, μετῆλθες τὸν βίον, ἐν ἐπιγνώσει τοῦ κρείττονος· διὸ τυχὼν τοῦ πόθου, μνημονεύων μὴ παύσῃ, τῶν τιμώντων σε ὕμνοις Παΐσιε.

Παραδραμών, πᾶσαν τοῦ κόσμου προσπάθειαν, ἐν νηστείαις, προσευχαῖς σὺν δάκρυσιν, οἰκεῖος γέγονας τῷ Θεῷ, ὅστις τῆς σοφίας, τοῖς δώροις κατακοσμήσας σε, ἀνέδειξεν ἀνθρώπων, ποδηγέτην καλόν σε, καὶ διδάσκαλον θεῖον Παΐσιε.

Καταλαβών, Ἄθωνος ὄρος τὸ ἅγιον, θείῳ ζήλῳ, ὄρη πρὸς αἰώνια, ἀσκητικοῖς κόποις τὴν ψυχήν, ὕψωσας καὶ ἔνδον, τοῦ θείου γνόφου γεγένησαι· ἀλλ᾿ ὡς κληρονομίας, ἀπολαύων ὀλβίας, τῶν ὑμνούντων σε Πάτερ προστάτευε.

Θεοτοκίον.

Δίδου ἡμῖν, τῆς φοβερᾶς σου Πανύμνητε, προστασίας, τὰ πολλὰ γνωρίσματα, ἐκ συμφορῶν βίου χαλεπῶν, ἡμᾶς ῥυομένη, τοὺς πόθῳ ἀναβοῶντάς σοι· Ἁγνὴ Παρθένε χαῖρε, τοῦ Πατρὸς ἡ τὸν Λόγον, σωματώσασα μέγα δι᾿ ἔλεος.

Τῆς Θεοτόκου. Ὠιδὴ ε΄. Ὁ Εἱρμός.

Ο῾ φωτίσας τῇ ἐλλάμψει, τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου, τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάρια.

Ο᾿μβροτόκος ὡς νεφέλη, ἡ σὴ σεβασμία Εἰκών, ὑετίζει Τριχεροῦσα, τὴν δρόσον τῆς χάριτος, τὰς καρδίας Δέσποινα ἀεί, πληροῦσα εὐφροσύνης, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Δοξασθεῖσα ὑπὲρ λόγον, Θεοῦ οἷα Μήτηρ Ἁγνή, Τριχεροῦσα ἐξ Εἰκόνος, ἐκφαίνεις τὴν δόξαν σου· πρὸς αὐτὴν γὰρ σπεύδοντες πιστῶς, τῆς σῆς κηδεμονίας, τὰς διαδόσεις λαμβάνομεν.

Ε᾿πυρώθην ἁμαρτίαις, αἰσχραῖς διὰ πλῆθος παθῶν, Τριχεροῦσα καὶ εἰς χάος, βυθίζομαι θλίψεως· ἀλλ᾿ αὐτή με οἴκτειρον τῇ σῇ, Εἰκόνι προσιόντα, καὶ ἐκζητοῦντα τὴν χάριν σου.

Γηγενῶν σε πᾶσα φύσις, ὑμνεῖ Τριχεροῦσα Ἁγνή, λυτρωθεῖσα τῷ σῷ τόκῳ, γενάρχου τοῦ πταίσματος· τὸν Θεὸν γὰρ ἔτεκες ἡμῖν, Εἰκών σου ὡς ἐμφαίνει, ὕλῃ χρωμάτων Πανύμνητε.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Τίς ἀξίως εὐφημήσει, τὴν σὴν μακαρίαν ζωήν; ἐν ἀσκήσει γὰρ Κυρίου, τὸν νόμον ἐπλήρωσας, καὶ θυσία ἔμψυχος Θεῷ, τερπνὴ ἐτελειώθης, τῇ ἐγκρατείᾳ Παΐσιε.

Υ῾πομένων τῇ ἀσκήσει, Χριστοῦ δι᾿ ἀγάπην στεῤῥῶς, τοῦ νοός σου τὰς αἰσθήσεις, τελείως ἐκάθηρας, καὶ ἐδέξω ἔλλαμψιν φωτός, τοῦ τῆς θεογνωσίας, Πάτερ θεόφρον Παΐσιε.

Ε᾿ν τῷ Ὄρει τῷ Ἁγίῳ, τῆς γῆς τὰ ἡδέα λιπών, Ἀσωμάτων ἐμιμήσω, τὸν βίον ἐν σώματι, καὶ δαιμόνων ᾔσχυνας ὀφρύν, εὐχῶν τὴν πανοπλίαν, ἐνδεδυμένος Παΐσιε.

Θεοτοκίον.

Ι῞ασαί με ἀσθενοῦντα, Μῆτερ τοῦ Σωτῆρος Χριστοῦ, καὶ τελείας μετανοίας, πρὸς δρόμον κατεύθυνον, ὁδηγίᾳ χάριτος τῆς σῆς· σὲ γὰρ μόνην προστάτιν, ἔχω ὁ τάλας ἱκέτης σου.

www.tezaurliturgic.ro


Ἕτερος. Ἵνα τί με ἀπώσω.

Ἐπιγνώσει τῇ θείᾳ, τὸν νοῦν πυρσευόμενος, σοφὲ Παΐσιε, τῶν ἐν γῇ πραγμάτων, τὴν προσπάθειαν πᾶσαν παρέδραμες, καὶ στεῤῥᾷ ἀσκήσει, τῇ σῇ ψυχῇ ὡς καθαρεύσας, ἐνεργείας τῆς χάριτος ἔτυχες.

Ἐγκρατείας ἀμέτρου, πυρὶ δροσιζόμενος σαρκὸς τὴν κάμινον, ἔσβεσας τελείως, καὶ ἀνέβλυσας δρόσον οὐράνιον, τῆς διδασκαλίας, καὶ τῶν θαυμάτων εἰς ἀξίαν, τοῦ Κυρίου Παΐσιε αἴνεσιν.

Ἐν Σιναίῳ τῷ ὄρει, κατὰ μόνας γέγονας ἀγωνιζόμενος, κατὰ τοῦ βελίαρ, ὃν στρουθίον εἰργάσω παιζόμενον· πίστει γὰρ ἐκτήσω, τὴν κραταιὰν τοῦ Παρακλήτου, συμμαχίαν Παΐσιε Ὅσιε.

Θεοτοκίον.

Ὁ ἀφράστως τὴν σάρκα, ἐκ σοῦ προσλαβόμενος, Ἁγνὴ Μητρόθεε, τῷ βροτείῳ γένει, ὡς Θεὸς σωτηρίαν εἰργάσατο· ἀλλ᾿ αὐτὸν δυσώπει, ὑπὲρ ἡμῶν ἵνα ῥυσθῶμεν, τῆς μελλούσης κολάσεως Ἄχραντε.

Τῆς Θεοτόκου. Ὠιδὴ στ΄. Ὁ Εἱρμός.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν μου ἀγαθέ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, Σωτὴρ τοῦ κόσμου, κράζοντα δόξα σοι.

Τροπάρια.

Μητρικῶν σου οἰκτιρμῶν, ἐξ Εἰκόνος σου ἡμῖν, πρυτανεύεις ἀγαθά, Τριχεροῦσα δαψιλῶς, καὶ ῥύεσαι, κακῶν παντοίων, τοὺς προσιόντάς σοι.

Οὐρανίων δωρεῶν, ὡς κειμήλιον ἡ σή, θεία δείκνυται Εἰκών, Τριχεροῦσα Μαριάμ· θαυμάτων γάρ, ῥοὴν ἐκβλύζει, πάντας εὐφραίνουσα.

Νᾶμα βλύσον γλυκασμοῦ, εὐσπλαχνίας μητρικῆς, ἐξ Εἰκόνος σου λαῷ, Τριχεροῦσα τῷ πιστῷ, τοῖς πλήθεσιν, ἐγκαυχωμένῳ, τῶν θαυμασίων σου.

Παραδόξως ἐνεργεῖς, ἐξ Εἰκόνος εὐαγοῦς, διασώζουσα ἡμᾶς, Τριχεροῦσα Ἀγαθή, ἐκ θλίψεων, τῆς τρικυμίας· διὸ ὑμνοῦμέν σε.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

www.tezaurliturgic.ro


Υ῾πακούσας τοῦ Θεοῦ, τῷ θελήματι πιστῶς, ἐθεράπευσας αὐτόν, πολιτείᾳ θαυμαστῇ, Παΐσιε· διὸ θαυμάτων, χάριν ἐπλούτησας.

Παρακλήτου τὴν πνοήν, δι᾿ ἀσκήσεως λαβών, ὡς παρόντα τὰ μακράν, προανήγγειλας σαφῶς, Παΐσιε, ἐπιστηρίζων, τοὺς προσιόντας σοι.

Φιλοσόφως τὴν ζωήν, ἐπετέλεσας τὴν σήν, μελετήσας εὐσεβῶς, ἐν τῷ νόμῳ τοῦ Θεοῦ, ὡς πίστεως, πεπληρωμένος, Πάτερ Παΐσιε.

Θεοτοκίον.

Λάμπρυνόν μου τὴν ψυχήν, διαλύουσα παθῶν, τὴν σκοτίαν τῷ φωτί, χάριτός σου τῆς πολλῆς, Πανάχραντε, ἵνα ὑμνῶ σε, τὴν ὑπερύμνητον.

Ἕτερος. Ἱλάσθητί μοι Σωτήρ.

Α᾿στέρα σε φωταυγῆ, Μονὴ Στομίου ἐγνώρισε, τῶν ἀρετῶν ἀστραπαῖς, τὰ πέριξ φωτίζοντα· ἐν ταύτῃ γὰρ ἔζησας, κἂν μικρῷ ἐν χρόνῳ, ὥσπερ Ἄγγελος Παΐσιε.

Τὸ μέλι τῶν ἀρετῶν, ἀσκήσει ἐκηροπλάστησας, καὶ ἀποστάξας αὐτό, Παΐσιε Ὅσιε, σεπτῶν ἐκ χειλέων σου, γλυκασμὸν παρέσχες, τοῖς ἀνθρώποις κατανύξεως.

Θανάτου πνευματικοῦ, ἀνθρώπων πλῆθος ἐλύτρωσας, τὴν θεραπείαν αὐτοῖς, παρέχων τῶν λόγων σου, βοτάνῃ Παΐσιε· διδακτὸς γὰρ ὤφθης, τοῦ Θεοῦ τῇ πολιτείᾳ σου.

Θεοτοκίον.

Ρ῾ερυπωμένον Ἁγνή, πολλαῖς ἀνόμοις μου πράξεσι, ταῖς μυστικαῖς προχοαῖς, τοῦ θείου ἐλέους σου, τελείως καθάρισον, καὶ ἐνίσχυσόν με, ἐναρέτως πολιτεύεσθαι.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παιδιόθεν ἔφεσιν, τὴν πρὸς τὰ κρείττονα ἔχων, τῷ Θεῷ ἐδούλευσας, τῇ ἐν ἀσκήσει ζωῇ σου· ἔλαμψας, ἐν γῇ τῷ πλήθει τῶν ἀρετῶν σου· θαύμασιν, ἐμαρτυρήθης Θεῷ οἰκεῖος. διὰ τοῦτό σε τιμῶμεν, ἡγιασμένε, Πάτερ Παΐσιε.

Ὁ Οἶκος.

Τῆς φωνῆς τοῦ Κυρίου ἀκούσας λεγούσης, ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, ἔργον τὸν λόγον προθύμως ἐποίησας· πατρίδα γὰρ οἰκείους καὶ τὰ ἐν κόσμῳ ἀφείς, ἀσκητικῶς διὰ βίου, Χριστῷ ἠκολούθησας, ἐν νηστείαις, ἀγρυπνίαις, εὐχαῖς τε σὺν δάκρυσιν, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, τῷ ἐν Τριάδι Θεῷ λατρεύων, καὶ τῷ πλησίον τὰ πάντα, ἐξ ἀγάπης γενόμενος· ὅθεν σαυτὸν παραστήσας, τῆς κλήσεως ἄξιον, τοῖς δεδομένοις σοι ἄνωθεν, πνευματικοῖς χαρίσμασιν, ἄνθρωπος οὐράνιος, ἐπίγειος Ἄγγελος, τοῖς πέρασιν ἐμαρτυρήθης· διὰ τοῦτο οἱ πιστοί, τὴν μνήμην σου σήμερον ἐκτελοῦντες, ἐν ὕμνοις σε τιμῶμεν, ἡγιασμένε, Πάτερ Παΐσιε.

Μηνολόγιον.

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός (Ἰουλίου), ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἐπονομαζομένης «Τριχερούσης», ἧς ἡ θαυματουργὸς Εἰκὼν εὕρηται ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ Μονῇ τοῦ Χιλανδαρίου.

Στίχοι.
Ἡ Τριχεροῦσα ὑπερύμνητος Κόρη,
Χεῖρα παρέχει τοῖς πιστοῖς βοηθείας.
Δωδεκάτη Τριχεροῦσαν Κούρην ᾄσμασι τιμάσθω.

Συναξάριον

Αὕτη ἡ τιμία καὶ πανυπέρτιμος Εἰκὼν τῆς Θεομήτορος ἦν κτῆμα τοῦ Ὁσίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, ταύτης δὲ ἐνώπιον οὗτος προσευχόμενος, ὅτε ἀπεκόπη ὑπὸ τοῦ ἀμηρᾶ τῆς Δαμασκοῦ τὴν δεξιὰν αὐτοῦ χεῖρα ὡς δῆθεν ἐπίβουλος τῆς ἀρχῆς, ἔλαβε παραδόξως τὴν ἴασιν, συγκολληθείσης τῆς χειρός. Ἐξ εὐγνωμοσύνης δὲ ὁ Ὅσιος πρὸς τὴν Ὑπεραγίαν Θεοτόκον ἀνέθετο τῇ ἱερᾷ Εἰκόνι χρυσοῦν ὁμοίωμα τῆς ἰαθείσης χειρός, εἰς μνείαν τοῦ θαύματος, διὸ καὶ Τριχεροῦσα αὕτη ὠνόμασται.

Αὕτη ὑπῆρχεν ἐν τῇ Λαύρᾳ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου, ἄχρι τῶν μέσων τοῦ δεκάτου καὶ τρίτου αἰῶνος, ὅτε παραγενομένου ἐκεῖσε τοῦ Ἀρχιεπισκόπου τῆς Σερβίας Ἁγίου Σάββα ἐδόθη αὐτῷ ὡς δῶρον, κατὰ τὴν γενομένην πρὸ τῆς μακαρίας κοιμήσεως αὐτοῦ παραγγελίαν τοῦ κτήτορος Ὁσίου Ἰωάννου, οὗτος δὲ μετεκόμισεν αὐτὴν ὡς πολύτιμον θησαυρὸν ἐν τῇ οἰκείᾳ πατρίδι, ἐξ ἧς παραδόξῳ τρόπῳ, ἐπὶ ὄνου τεθεῖσα, ἄνευ ὁδηγίας παρεγένετο ἐν τῇ κατὰ τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθωνος σεβασμίᾳ τοῦ Χιλανδαρίου Μονῇ, ἔνθα εὕρηται μέχρι σήμερον, ἐν τῷ τοῦ Ἡγουμένου θρόνῳ κειμένη, καὶ θαύματα ἀναβλύζουσα πᾶσι τοῖς προσερχομένοις αὐτῇ μετ᾽ εὐλαβείας.

www.tezaurliturgic.ro


Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου.

Στίχοι.
Θανὼν ὁ Παΐσιος φύσεως νόμῳ,
Ζωῆς κατηξίωται τῆς ἀθανάτου.
Δωδεκάτῃ πρὸς ἄδυτον φάος Παΐσιος ἔβη.

Συναξάριον.

Οὗτος ὁ νέος τῆς Ἐκκλησίας φωστὴρ ἐγεννήθη ὑπὸ γονέων εὐσεβῶν, ὧν ἡ κλῆσις Πρόδρομος καὶ Εὐλογία, ἐν Φαράσοις τῆς Καππαδοκίας ἐν ἔτει χιλιοστῷ ἐνακοσιοστῷ εἰκοστῷ καὶ τετάρτῳ (1924), λαβὼν ὑπὸ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Καππαδόκου ἐν τῷ ἁγίῳ Βαπτίσματι τὸ ὄνομα Ἀρσένιος. Μετὰ τὴν οὕτως καλουμένην "Ἀνταλλαγὴν τῶν πληθυσμῶν" μεταξὺ τῶν χωρῶν Ἑλλάδος καὶ Τουρκίας οἱ γονεῖς αὐτοῦ ἐλθόντες κατῴκησαν ἐν Κονίτσῃ, ἔνθα ὁ Ὅσιος ἀνετράφη "ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου" κατὰ τὸ ἀποστολικόν. Εἰς μέτρον δὲ ἡλικίας φθάσας ἀναχωρήσας τῆς πατρῴας οἰκίας ἦλθεν ἐν τῷ ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος, ἔνθα, κατὰ τὰ νενομισμένα δοκιμασθείς, τὸ τῶν Μοναχῶν ἐνεδύσατο σχῆμα. Ἀσκήσας πρῶτον ἐν τῷ Ἄθωνι, εἶτα δὲ ἐν τῇ παρὰ τὸ Στόμιον τῆς Ἠπείρου Μονῇ τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἐν τῷ Θεοβαδίστῳ Ὄρει Σινᾷ, ἐπανῆκεν ἐν Ἄθωνι, οἰκήσας ἐν τέλει ἐν τῷ κελλίῳ τοῦ Γενεσίου τῆς Θεομήτορος, τῷ καλουμένῳ "Παναγούδα", παρὰ τὴν Ἱερὰν τοῦ Κουτλουμουσίου Μονήν, ἔνθα καὶ ὁσίως ἐβίωσεν ἄχρι τῆς μακαρίας αὐτοῦ τελευτῆς, ἐπισυμβάσης ἐν τῇ παρὰ τὴν Σουρωτὴν τῆς Χαλκιδικῆς κειμένῃ Ἱερᾷ Μονῇ τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ Ἰωάννου, τῇ δωδεκάτῃ Ἰουλίου τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ ἐνενηκοστοῦ καὶ τετάρτου ἔτους (1994), ἔνθα καὶ ἐτάφη, θαύματα ἔκτοτε ἐκ τοῦ τάφου ἀυτοῦ ἀναπηγάζων τοῖς προσερχομένοις ἐν εὐλαβείᾳ καὶ ἐπιζητούντων τὰς πρὸς τὸν οἰκτίρμονα Θεὸν πρεσβείας αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων μαρτύρων Πρόκλου καὶ Ἱλαρίου.

Στίχοι.
Ἤνεγκε γυμνὸς πυκνὰ ὁ Πρόκλος βέλη.
Ξίφει δὲ Ἱλάριος ἐτμήθη κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μιχαὴλ τοῦ Μαλεΐνου, ὃς ἐχρημάτισε Πατὴρ πνευματικὸς τοῦ Ἁγίου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ.

Στίχοι.

Ζήσας, Μιχαήλ, ὡς ἄσαρκος ἐν βίῳ,
Ὁμωνύμῳ νῦν συμπαρίσταται Νόῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σεραπίωνος, καὶ τῶν Ἁγίων Μαρτύρων Ἀνδρέου τοῦ Στρατηλάτου, Ἡρακλείου, Φαύστου, Μηνᾶ, καὶ τῆς συνοδίας αὐτῶν· καὶ τοῦ Ἁγίου Μάρτυρος Μάμαντος, πέραν ἐν τῷ Σίγματι.

Στίχοι.
Πῖόν τι Χριστῷ θῦμα καὶ Σεραπίων,
Χριστοῦ παρ᾽ ἐχθρῶν εἰς τὸ πῦρ βεβλημένος.

Ὡς ἅρμα αἷμα τετράϊππον εἰς πόλον,
Εὐροῦσα, ἐξώρμησε τετρὰς Μαρτύρων.

Μάμαντα ἂν δὲ ἀγέραστον παρίδω,
Πῶς ἂν φανείην φίλος εἶναι Μαρτύρων;

Ἡ Ἁγία Βερονίκη ἡ αἱμοῤῥοοῦσα, ἣν ἰάσατο ὁ Χριστός, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.
Ὅλου νοητῶς δράττεταί σου νῦν, Λόγε,
Ἡ κρασπέδου σου πρὶν μόνον δραξαμένη.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. ᾽Αμήν.

Τῆς Θεοτόκου. Ὠιδὴ ζ΄. ῾Ο Εἱρμός.

Σὲ νοητήν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τροπάρια.

Α᾽π᾽ οὐρανοῦ, Τριχεροῦσα ἔπιδε, ἐν συμπαθείᾳ ἐφ᾽ ἡμᾶς, παρεστῶτας γονυκλινῶς, τῇ θείᾳ Εἰκόνι σου, ἅπασι παρέχουσα, τῆς μητρικῆς σου χρηστότητος, τὰς μυστικὰς διαδόσεις, Ἁγνὴ ὡς πολυεύσπλαγχνος.

Ρ῾εῖθρον ζωῆς, ἐξ Εἰκόνος βλύζουσα, ὡς ἀενάου ἐκ πηγῆς, Τριχεροῦσα Μῆτερ Θεοῦ, τῶν παθῶν τοῦ σώματος, σβεννύεις τὴν φλόγωσιν, καὶ τηκομένοις ἐν θλίψεσιν, ἀναψυχὴν πρυτανεύεις, ἡμῖν ψυχοσωτήριον.

Θαυματουργεῖς, ἐξ Εἰκόνος πάντοτε, πρὸς σωτηρίαν τῶν πιστῶν, Τριχεροῦσα ὑπερφυῶς· διό σοι κραυγάζομεν· Χαῖρε Θεονύμφευτε, ἡ ἀπειράνδρως κυήσασα, τὸν τοῦ Θεοῦ Θεὸν Λόγον, ἡμῶν εἰς ἀπολύτρωσιν.

Ε᾿ν ταῖς χερσί, Τριχεροῦσα Πάναγνε, σὲ καθορῶντες εὐσεβῶς, ὡς παιδίον τὸν Ποιητήν, τοῦ κόσμου βαστάζουσαν, τόκου σου θαυμάζομεν, τὸ ὑπὲρ λόγον μυστήριον· καὶ γὰρ ἐκ σοῦ ἐσαρκώθη, Θεὸς ὁ πολυέλεος.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Τὴν κοσμικήν, ὡς μισήσας μέριμναν, τῇ ἀγαπήσει τοῦ Θεοῦ, ἐν νηστείαις καὶ προσευχαῖς, σαρκὸς ἀπενέκρωσας, ἅπαντα σκιρτήματα, καὶ ἀνυψώθης τῇ χάριτι, πρὸς μυστικὰς ἀναβάσεις, ζωῆς θείας Παΐσιε.

Ε᾿ν ταπεινῷ, ἀληθῶς φρονήματι, ἔχων τὸν βίον ὑψηλόν, ἠξιώθης θεωριῶν, τῶν ὑπὲρ κατάληψιν, Ὅσιε Παΐσιε, καὶ ἐν σοφίᾳ καὶ θαύμασι, περιφανὴς ἀνεδείχθης, Θεοῦ ὡς δοῦλος γνήσιος.

Τοῦ ποταμοῦ, τοῦ Ἁγίου Πνεύματος, τῶν χαρισμάτων πληρωθείς, ἐκ χειλέων ὡς ἐκ πηγῆς, θεοβρύτου ἔβλυσας, νάματα σωτήρια, διδασκαλίας τῆς πίστεως, Πάτερ Παΐσιε μάκαρ, πιστῶν εἰς περιποίησιν.

Θεοτοκίον.

Ο῞λον τὸν νοῦν, ἀχρειώσας πάθεσι, ὄφεως δόλῳ μυσαρῷ, συνεσχέθην λύπῃ πικρᾷ, τὴν ψυχήν μου Πάναγνε· ὅθεν μοι παράστηθι, ἐν μητρικῇ σου χρηστότητι, καὶ γλυκασμῷ εὔφρανόν με, τῆς σῆς ἀπείρου χάριτος.

Ἕτερος. Παῖδες Ἑβραίων.

Τέκνον ἐδείχθης κατὰ πνεῦμα, καὶ διάδοχος, τοῦ θείου Ἀρσενίου, δι᾿ ἐνθέου ζωῆς, Παΐσιε πλουτήσας, τὰς δωρεὰς τῆς χάριτος, τοῦ Θεοῦ τῇ εὐδοκίᾳ.

Μέσῳ φωτός σοι ἐπεφάνη, ὁ φιλάνθρωπος, Παΐσιε Δεσπότης, γλυκασμοῦ σε πληρῶν, καὶ ἔνθους ἀνεβόας· Εὐχαριστῶ σοι Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λύχνος ἀνάψας εὐσεβείας, δι᾿ ἀσκήσεως, ἐν Ἄθῳ τῇ λυχνίᾳ, ἔθεσέν σε Θεός, ἐκεῖθεν ἐφαπλοῦντα, τὸ φῶς αὐτοῦ τῆς γνώσεως, τῷ λαῷ τῶν Ὀρθοδόξων.

Θεοτοκίον.

Ὕμνοις πιστῶν σε αἱ χορεῖαι, μακαρίζομεν, τὴν μόνην Θεοτόκον, καὶ τὸν τόκον τὸν σόν, δοξάζομεν βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὠιδὴ η΄. Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Νεφέλη ὑπέρφωτος, ἀπείρων δωρεῶν, Εἰκών σου ἡ πάνσεπτος, ὁρᾶται μυστικῶς, Ἁγνὴ Τριχεροῦσα, τῷ πιστῷ σου λαῷ· Αὐτὸν οὖν ὁδήγει, πρὸς δρόμον σωτηρίου.

Εὐσήμῳ σε στόματι, ὑμνοῦμεν οἱ πιστοί, λιμένα ὡς ἄκλυστον, καὶ τεῖχος ἀσφαλές, Ἁγνὴ Τριχεροῦσα, εὐσπλαχνίᾳ τῇ σῇ, τὴν τερατουργόν σου, Εἰκόνα κεκτημένοι.

Κατάπεμψον ἄφθονον, Εἰκόνος ἐκ τῆς σῆς, Παρθένε τὴν χάριν σου, ἡμῖν τοῖς ταπεινοῖς, αὐτῇ Τριχεροῦσα, προσιοῦσι πιστῶς, καὶ δοξάζουσί σου, τὸ πλῆθος τῶν θαυμάτων.

Ὑγίωσον δούλων σου, νοσούσας τὰς ψυχάς, ἀθλίως τοῖς πάθεσιν, Εἰκόνος ἐκ τῆς σῆς, τῆς χάριτος θείας, ζωηφόρους πηγάς, ἐκβλύζουσα πᾶσι, Παρθένε Τριχεροῦσα.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ῥωννύμενος χάριτι, καθεῖλες τὴν ὀφρύν, δαιμόνων Παΐσιε, καὶ ὤφθης τοῦ Θεοῦ, τῷ βίῳ σου δοῦλος, καὶ θεράπων πιστός· διὸ ἐδοξάσθης, θαυμάτων ἐνεργείαις.

Κινούμενος Πνεύματι, Ἁγίῳ ἐκ παιδός, Ὁσίων τοῖς ἴχνεσιν, ἐπέβης ἐν σπουδῇ, καὶ πέφηνας τούτων, μιμητὴς θαυμαστός, Παΐσιε τήξας, τὸ σῶμα τῇ ἀσκήσει.

Γενόμενος μέγιστος, τῇ πίστει ὡς Μωσῆς, κατεῖδες τὸ πρόσωπον, τὸ θεῖον τοῦ Χριστοῦ, Παΐσιε Πάτερ, καὶ αὐτοῦ τῆς Μητρός, μεθ᾽ ἧς ἐκδυσώπει, σωθῆναι ἡμᾶς πάντας.

Θεοτοκίον.

Ὑπέραγνε Δέσποινα, τοῦ μύρου τῆς ζωῆς, ὡς Μήτηρ πανάφθορος, παθῶν με σαρκικῶν, ἀπάλλαξον δεῦρο, τῆς δυσώδους ὀσμῆς, ἵνα σε γεραίρω, τὴν Κεχαριτωμένην.

Ἕτερος. Τὸν ἐν ὄρει ἁγίῳ.

Τῆς κατ᾽ ἄμφω ἀγάπης ὡς ταμεῖον, τῇ ἀσκήσει Θεοῦ, διάκονος ἐδείχθης, καὶ ἀδελφοῖς Παΐσιε πανεύφημε, γέγονας τὰ πάντα, ἵνα πάντας σώσῃς, ὡς ἄλλος Κορυφαῖος.

Τοὺς ἐπαίνους ἀνθρώπων ἀποκλίνων, ταπεινώσει σαυτόν, ἐκόσμησας τελείᾳ· διὸ Χριστὸς Παΐσιε ὡς ἔφησεν, τῆς ἁγιωσύνης, ἐν ἐσχάτοις χρόνοις, τῷ ὕψει ἀνυψώθης.

Νέας Ῥώμης ἠγάσθη Πατριάρχης, πολιτείαν τὴν σήν, καὶ σύνεσιν τῶν λόγων· Ἀρχιερεῖς ᾐδέσθησαν Παΐσιε, τὸν σεμνόν σου τρόπον, δι᾽ οὗ ἐμαρτύρεις, τὴν χάριν τοῦ Κυρίου.

Θεοτοκίον.

Ὁλοθύμῳ ἐφέσει ἀνυμνοῦμεν, Ὀρθοδόξων χοροί, τὸ θαῦμά σου Παρθένε· σὺ γὰρ φρικτῶς συνέλαβες ἐν μήτρᾳ σου, τοῦ Πατρὸς τὸν Λόγον, σῴζοντα θανάτου, τὸ γένος τῶν ἀνθρώπων.

Τῆς Θεοτόκου. Ὠιδὴ θ΄. Ὁ Εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος, ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ᾽ ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάρια.

Ῥεῖθρα ζωηρὰ ἀνάβλυσον, τῶν οἰκτιρμῶν σου χύδην, ἐκ τῆς Εἰκόνος σου, ἡμῶν τὰς ψυχάς, πρὸς ἀρετῶν καταρδεύουσα, εὐκαρπίαν Παρθένε τὴν κρείττονα, ἵνα σε Τριχεροῦσα, ἀκαταπαύστως μακαρίζωμεν.

Ἴδε ἐφ᾽ ἡμᾶς Θεόνυμφε, ἱλαρωτάτῃ ὄψει, ἐκ τῆς Εἰκόνος σου· ἴασαι ἡμῶν, τῶν καρδιῶν τὰ συντρίμματα, καὶ σωμάτων τά ἄλγη θεράπευσον, ἵνα σε Τριχεροῦσα, ἀκαταπαύστως μεγαλύνωμεν.

Λόγος οὐδαμῶς ἰσχύει σου, τοῖς μεγαλείοις φέρειν, ἄξιον ἔπαινον· ἀλλ᾽ ὡς ἀγαθή, δέξαι ἡμῶν τὴν προαίρεσιν, Τριχεροῦσα καὶ δίδου τὸ ἔλεος, τοῦ ἐκ σοῦ σαρκωθέντος, τοῖς πεποιθόσι τῇ πρεσβείᾳ σου.

Υ῞μνον εὐτελῆ τολμήσαντα, ἀπὸ βεβήλου γλώσσης, πλέξαι σοι Ἄχραντε, τοῦτον εὐμενῶς, ὡς πενιχρὸν δέξαι ψέλλισμα, Τριχεροῦσα Παρθένε καὶ λύτρωσαι, βίου με ἐκ κινδύνων, καὶ τῆς μελλούσης κατακρίσεως.

Τοῦ Ὁσίου. Εἱρμὸς ὁ αὐτός.

Ρ῾ώμῃ δυνατῇ τῆς πίστεως, τὸν τῆς ψυχῆς σου τόνον, ἐνισχυόμενος, ἤνεγκας στεῤῥῶς, τοὺς πειρασμοὺς καὶ τοῦ σώματος, τὰς πολλὰς ἀσθενείας Παΐσιε, εὐχαριστῶν ἐν πᾶσι, καὶ μεγαλύνων τὸν Δεσπότην σου.

Ο῎μβροις πιανθεὶς τῆς χάριτος, ἀγγελικῷ σου βίῳ, Πάτερ Παΐσιε, προνοίᾳ Θεοῦ, ὡς ποταμὸς ἀνεπήγασας, Ἐκκλησίας ἀρδεύων τοὺς αὔλακας· διό σε κατὰ χρέος, ἐν ὑμνῳδίαις μακαρίζομεν.

Δῶρον τῷ Θεῷ προσήνεγκας, σαυτὸν ὁσίῳ βίῳ, θεῖε Παΐσιε, θυσίαν τερπνήν, καὶ προσφορὰν εὐαπόδεκτον· παρ᾽ αὐτοῦ δὲ ἐδέξω ἀντίδωρον, τὴν χάριν τῶν θαυμάτων, δι᾽ ἧς ἐκλάμπεις ὑπὲρ ἥλιον.

Ο῞λον σεαυτὸν παρέστησας, ἡγιασμένον σκεῦος, τοῦ Θείου Πνεύματος, τῇ ὑπερφυεῖ, ἀσκητικῇ πολιτείᾳ σου· ἀλλὰ δέχου τὸν ὕμνον Παΐσιε, διδούς μοι ταῖς εὐχαῖς σου, ἁμαρτημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Υ῞μνοις οἱ πιστοὶ τιμῶμέν σε, τὴν ἀνωτέραν οὖσαν, πάσης τῆς κτίσεως· πρέσβευε Ἁγνή, ὑπὲρ ἡμῶν ὡς φιλεύσπλαγχνος, τῷ τεχθέντι ἀφράστως ἐκ μήτρας σου, κόσμου εἰς σωτηρίαν, ἵνα ῥυσθῶμεν τῆς κολάσεως.

Ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Ε᾽πέβης τῷ τεθρίππῳ τῶν ἀρετῶν, Ἠλιοῦ ὥσπερ ἄλλος Παΐσιε, καὶ ἐν σκηνῇ, ἀχειροποιήτῳ τῶν οὐρανῶν, λελαμπρυσμένος ἔφθασας, ἔνθα τῷ Κυρίῳ νῦν παρεστώς, μὴ παύσῃ μνημονεύων, ὡς πλήρης εὐσπλαγχνίας, τῶν προστρεχόντων τῇ πρεσβείᾳ σου.

Α᾽γγέλων καὶ Ὁσίων καὶ Προφητῶν, Ἀθλητῶν καὶ Δικαίων τοῖς τάγμασι, ἐν οὐρανοῖς, χαίρων συγχορεύεις ἐν μετοχῇ, τῆς ἀνεσπέρου λάμψεως· ὅθεν παῤῥησίᾳ αἴτει ἡμῖν, τὴν λύσιν τῶν πταισμάτων, ὑγείαν τὴν κατ᾽ ἄμφω, καὶ εἰρηναῖον βίον Ὅσιε.

Ο῾ τάφος Θεολόγου ἐν τῇ Μονῇ, τὸ σεπτὸν ἔνθα κεῖται σοῦ λείψανον, ὥσπερ πηγή, χάριν ἀναβλύζει διηνεκῶς, τῶν ἰαμάτων Ὅσιε, πάθη θεραπεύουσα χαλεπά, ἐκ τῶν προσερχομένων, καὶ πίστει ἐκζητούντων, τὴν σὴν πρεσβείαν πρὸς τὸν Κύριον.

Θεοτοκίον.

Τοῦ γένους τὴν κατάραν Εὔα τὸ πρίν, τῇ πικρᾷ παραβάσει ἐδέξατο· σὺ δὲ αὐτήν, τόκῳ σου ἰάσω παρθενικῷ, καὶ εὐλογίας πρόξενος, γέγονας τῇ κτίσει πάσῃ Ἁγνή· διό σοι εὐγνωμόνως, τὸ Χαῖρε τοῦ Ἀγγέλου, Θεοκυῆτορ ἀναμέλπομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Οἶκον σαυτὸν πανίερον, τῇ τελείᾳ ἀσκήσει, ὁσίως ἀπετέλεσας, ἐν ἐσχάτοις τοῖς χρόνοις, ἐν ᾧ Χριστὸς κατοικήσας, χαρισμάτων ποικίλων, ἐπλήρωσε Παΐσιε, εἰς λαοῦ Ὀρθοδόξου, οἰκοδομήν· ὅθεν σε τιμῶμεν ἐπιζητοῦντες, τὴν θείαν προστασίαν σου, ἐν ἀνάγκαις τοῦ βίου.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Α᾿σκητικῶς ἐτέθης, λύχνος ἐν Ἄθῳ νοητός, τὴν Ἐκκλησίαν αὐγάζων, διδασκαλίας τῷ φωτί, καὶ τῶν θαυμάτων ἀκτῖσι, Παΐσιε θεοφόρε.

Θεοτοκίον. Ὅμοιον.

Τῆς Τριχερούσης δεῦτε, θείαν Εἰκόνα οἱ πιστοί, κατασπασώμεθα πόθῳ, καὶ ἱκετεύσωμεν αὐτήν· Μῆτερ Θεοῦ ταῖς εὐχαῖς σου, τοὺς προσιόντας σοι σῶζε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. στʹ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου γʹ καὶ τοῦ Ὁσίου γʹ, ὡς κάτωθι.

Στιχηρὰ Προσόμοια τῆς Θεοτόκου.
Ἦχος πλ. δʹ. Ὢ τοῦ παραδόξου θαύματος.

Ω῍ τοῦ παραδόξου θαύματος! ἡ ἱερά σου Εἰκών, τοῦ μεγάλου ἐλέους σου, ὡς πηγὴ ἀκένωτος, Τριχεροῦσα Θεόνυμφε, δεικνυομένη, ἰᾶται μάστιγας, καὶ ἀποπλύνει, παθῶν τὸν βόρβορον. Ὅθεν προσπίπτοντες, ταύτῃ μετὰ πίστεως οἱ εὐσεβεῖς, δόξαν ἀναπέμπομεν, τοῖς μεγαλείοις σου.

Μῆτερ Τριχεροῦσα Πάναγνε, τῆς μητρικῆς σου στοργῆς, ἐμφανὲς ὡς τεκμήριον, οἱ πιστοὶ κατέχοντες, τὴν τιμίαν Εἰκόνα σου, ἐν τοῖς κινδύνοις, ταύτῃ προστρέχομεν, τὴν σωτηρίαν, ἀπεκδεχόμενοι· μένει γὰρ Ἄχραντε, ἐν αὐτῇ ἡ χάρις σου τῇ δωρεᾷ, τοῦ ἐνανθρωπήσαντος, ἐκ τῆς κοιλίας σου.

Χαῖρε Τριχεροῦσα Ἄχραντε, ἡ Ἰωάννῃ ποτέ, τῷ Ὁσίῳ τὴν ἴασιν, τῆς χειρὸς βραβεύσασα, τῇ Εἰκόνι σου σπεύσαντι· ἀεὶ οὖν Κόρη ἐκ ταύτης πάρεχε, τὴν εὔνοιάν σου, τοῖς προσπελάζουσιν, ἐκ περιστάσεων, νοσημάτων θλίψεων καὶ πειρασμῶν, ῥυομένη τάχιστα, τούτους ὡς εὔσπλαγχνος.

Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῶν Ὁσίων τὴν ἄσκησιν, ἐν ἐσχάτοις τοῖς ἔτεσι, διὰ πόθον ἔνθεον μιμησάμενος, ἐν ἀρεταῖς σου αἰδέσιμος, ἐν θαύμασι μέγιστος, καὶ ἐν λόγοις διδαχῶν, θεοφόρος γεγένησαι, καὶ ἐκόσμησας, τὴν Χριστοῦ Ἐκκλησίαν ἐκτελοῦσαν, τὴν σὴν μνήμην εὐφροσύνως, Πάτερ Παΐσιε σήμερον.

Τὸν σταυρόν σου ἐβάστασας, διὰ βίου Παΐσιε, καὶ Χριστοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, καταφρονήσας τοῦ σώματος, ὡς φθείρεσθαι μέλλοντος, καὶ φροντίσας ἀρεταῖς, τῆς ψυχῆς τὴν κατάστασιν· ὅθεν ἔλαβες, θησαυροὺς χαρισμάτων οὐρανόθεν, καὶ ἐνώπιον ἀνθρώπων, τὸ φῶς σου ἄδυτον ἔλαμψεν.

Τῇ ὁσίᾳ ἀσκήσει σου, τῆς ἀγάπης Παΐσιε, ἐν καρδίᾳ ἔλαβες τὴν ἐνέργειαν, καὶ θλιβομένων παράκλησις, ἀπόρων ἐπίκουρος, ἀσθενούντων ἰατρός, δαιμονώντων ἐπίσκεψις, καὶ διδάσκαλος, πρὸς ζωῆς ἐπιστήμην τοῖς ἀνθρώποις, ἀνεδείχθης μαρτυροῦντος, Θεοῦ μεγίστοις σε θαύμασιν.

Δόξα. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ Παΐσιε, Εὐαγγελίου μυσταγωγός, ἐν ἡμέραις πονηραῖς, θεωρίᾳ καὶ πράξει γεγένησαι· παθῶν γὰρ ὕλης ἐκκαθαρθείς, καὶ δι᾽ ἐγκρατείας τὸν νοῦν πτερώσας, τῶν ὀρεκτῶν τὴν γνῶσιν, μετασχεῖν κατηξιώθης. Ἀλλ᾽ ὡς θεόσδοτος ὄλβος, ὑπάρχων τῶν τιμώντων σε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, ἐν τῇ πίστει στερέωσον ἡμᾶς, καὶ ῥῦσαι ἐκ πειρασμῶν δεόμεθα.

Καὶ νῦν. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Πανηγύρεως ἡμέρα, ἐπεδήμησε σήμερον, ἡ τῆς Εἰκόνος σου ἑορτή, Τριχεροῦσα Πανύμνητε· διὸ ἐν αὐτῇ συναθροισθέντες, τὰ μεγαλεῖά σου κηρύττομεν, καὶ λέγομεν· Θεόνυμφε ὡς πάλαι, τῷ Δαμασκηνῷ Ἰωάννῃ, τῆς χειρὸς τὴν ἴασιν δέδωκας, ψυχῶν τε νῦν καὶ σωμάτων, τὰ συντρίμματα θεράπευσον, ἐκ τῶν προστρεχόντων σοι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Θεοτόκου ἡ γ', ἐκ δὲ τοῦ Ὁσίου ἡ στ' Ὠιδή. Ἀπόστολον τῆς Θεοτόκου ζήτει τῇ κα' Νοεμβρίου καὶ Εὐαγγέλιον τοῦ Ὁσίου τῇ ε' Δεκεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. ᾿Αλληλούϊα.

Μεγαλυνάρια.

Χαίροις Τριχεροῦσα Μῆτερ Θεοῦ, ἡ ἀσφαλεστάτη, Ὁδηγήτρια τῶν πιστῶν· χαίροις ἐξ Εἰκόνος, τιμίας δωρουμένη, σωτηριώδη χάριν, τοῖς προσιοῦσί σοι.

Χαίροις Μοναζόντων καθηγητής, καὶ τῶν Ὀρθοδόξων, ποδηγέτης πρὸς ἀρετήν, πράξει ἐναρέτῳ, καὶ λόγῳ θεοσόφῳ, Παΐσιε τρισμάκαρ, Ὁσίων σύσκηνε.

Στίχοι.
Ὑπεραγία Τριχεροῦσα Παρθένε,
Σὺν Παϊσίῳ τῷ κλεινῷ Ἀθωνίτῃ,
Κυρίλλῳ Ῥόδου ταπεινῷ Ἀρχιθύτῃ,
δίδοσθε χάριν τούσδε πλέξαντι ὕμνους.

Ἐτελειώθη ἡ Ἀκολουθία αὕτη
τῆς Ὑπεραγίας Θεοτόκου τῆς ἐπονομαζομένης «Τριχερούσης»
καὶ τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν
Παϊσίου τοῦ Ἁγιορείτου
Μηνὶ Ἰουνίῳ, τῇ κγ', ἐν ἔτει δισχιλιοστῷ καὶ δεκάτῳ ὀγδόῳ.